Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: hbc-aa

*Κρεώφυλος ὁ Ἐφέσιος* · Creophylus of Ephesus

# Foundation of Ephesus

## *Ἀπόσπασμα*

**Period:** *Κλασική* Classical
**Dialect:** *Ἰωνική* Ionic (frg)
**Domain:** *Ἱστορία* History
**Format:** *Πεζός* Prose

**ΕΦΕΣΙΩΝ ΩΡΟΙ.**

1 Athenaeus VII: Κρεόφυλος δ' ἐν τοῖς Ἐφεσίων Ὥροις «Οἱ τὴν Ἔφεσον (φησὶ) κτίζοντες, πολλὰ ταλαιπωρηθέντες ἀπορίᾳ τόπου, τὸ τελευταῖον πέμψαντες εἰς θεοῦ, ἠρώτων, ὅπου τὸ πόλισμα θῶνται.

1 Ὁ δ' αὐτοῖς ἔχρησεν, ἐνταῦθα οἰκίζειν πόλιν, ᾗ ἂν ἰχθὺς δείξῃ, καὶ ὗς ἄγριος ὑφηγήσηται. Λέγεται οὖν, ὅπου νῦν ἡ κρήνη ἐστὶν Ὑπέλαιος καλουμένη, καὶ ὁ ἱερὸς λιμὴν, ἁλιέας ἀριστοποιεῖσθαι, καὶ τῶν ἰχθύων τινὰ ἀποθορόντα σὺν ἀνθρακιᾷ εἰσπεσεῖν εἰς φορυτὸν, καὶ ἁφθῆναι ὑπ' αὐτοῦ λόχμην, ἐν ᾗ ἔτυχεν ὗς ἄγριος ὤν· ὃς, ὑπὸ τοῦ πυρὸς θορυβηθεὶς, ἐπέδραμε τοῦ ὄρους ἐπὶ πολὺ, ὃ δὴ καλεῖται Τρηχεῖα, καὶ πίπτει ἀκοντισθεὶς, ὅπου καὶ νῦν ἐστιν ὁ τῆς Ἀθηνᾶς ναός. Καὶ διαβάντες οἱ Ἐφέσιοι ἐκ τῆς νήσου, ἔτεα εἴκοσιν ἓν οἰκήσαντες, τῷ εἰκοστῷ δευτέρῳ κτίζουσι Τρηχεῖαν καὶ τὰ ἐπὶ Κόρησσον, καὶ ἱερὸν Ἀρτέμιδος ἐπὶ τῇ ἀγορᾷ ἱδρύσαντο, Ἀπόλλωνός τε τοῦ Πυθίου ἐπὶ τῷ λιμένι.»